eul_wid: cxk-ab

*Μεταγένης ὁ κωμικός* · Metagenes the Comic Poet

# Comic Feast of Crathis

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας ὡραίας
book 1.2 πρότερον, νῦν δ’ οὐχ ὑμῖν ἀγορεύω ἄρτι
book 1.3 χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα ἀνδρῶν
book 1.4 φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.
book 2.1 Ὥσπερ ἐπειδὰν δειπνῶμέν
book 2.2 που, τότε
book 2.3 πλεῖστα λαλοῦμεν[ln_1]ἅπαντες.
book 3.1 Ἀλλ’ ὦγαθὲ δειπνῶμεν
book 3.2 πρῶτον, κἄπειτά με πάντ’ ἐπε-[ln_1]ρώτα, ὅ τι ἂν βούλῃ· νῦν γὰρ
book 3.3 πεινῶν δεινῶς πώς εἰμ’ ἐπιλήσμων.
book 4.1 Ἱερεὺς γὰρ ὢν
book 4.2 τετύχηκα τῆς Κολαινίδος.
book 1.1 Ὁ μὲν
book 1.2 ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει μάζας μεγίστας αὐτομάτας μεμαγμένας, ὁ δ’ ἕτερος ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν ἑφθῶν
book 1.3 τε βατίδων εἰλυομένων αὐτόσε.[ln_5]τὰ δὲ μικρὰ ταυτὶ ποτάμι’ ἐνμεντευθενί ῥεῖ τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις, ἐντευθενὶ δ’ ἀλλᾶσι καὶ περικόμμασιν, τηδὶ δ’ ἀφύαισι, τῇδε δ’ αὖ ταγηνίαις· τεμάχη δ’ ἄνωθεν αὐτόματα
book 1.4 πεπνιγμένα[ln_10]εἰς τὸ στόμ’ ᾄττει, τὰ δὲ παρ’ αὐτὼ τὼ πόδε, ἄμυλοι δὲ περινάουσιν ἡμῖν ἐν κύκλῳ.
book 2.1 Τίς
book 2.2 τρόπος ἵππων; ὡς δ’ ὀρχοῦνται τὸν βαρβαρικὸν[ln_1]τρόπον οὗτοι.
book 1 Καὶ Λύκων ἐνταῦθά που * * προδοὺς Ναύπακτον ἀργύριον λαβὼν ἀγορᾶς ἄγαλμα ξενικὸν ἐμπορεύεται.
book 1.1 Κατ’ ἐπεισόδιον μεταβάλλω τὸν λόγον, ὡς ἂν καιναῖσι
book 1.2 παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον.

book 2.1 [spk_β]Ὦ πολῖται δεινὰ πάσχω. Β. τίς
book 2.2 πολίτης δ’ ἐστὶ νῦν
book 2.3 πλὴν ἄρ’ ἢ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;
book 3 δίμυξον ἢ τρίμυξον ὡς ἐμοὶ δοκεῖ.
book 1 Ῥαφανῖδος, ἀμύλου, λεκίθων, καρύων, ζωμοῦ, πολφῶν, οἴνου, κολο-[ln_2]κύνθης.
book 2.1 Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι
book 2.2 περὶ δείπνου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org